Apparatus:
l. 1 ἀδελφῷ; Ἀφυγχίῳ
l. 2 Κύρα; Ἀία
l. 3 ἐξαυτῆς, also lines 12 and 21; ἀπάντησον, also line 21
l. 4 ἡμᾶς, also lines 7 and 12; ἐπειδὴ
l. 5 πάνυ; χρείαν; ἔχομεν
l. 6 παραμεῖναι; σε, also line 14
l. 8 σύ
l. 11 ἀπεστείλαμεν; ἵνα, also line 21
l. 13 πλείστη; τὸν; σκυλμὸν
l. 14 ἡμῶν; παρεχόντων; αὐτῷ; τὸν
l. 14-15 μισ|θόν
l. 15 ἀσπάζομεν
l. 16 Ἐλευθέραν
l. 19 ἀδελφέ
l. 20 ἀμελῆσαι

Transcription:
κυρίῳ μου ἀ[δ]ελφῶι Ἀφυγχίωι
Κυρας καὶ Αἴας πλεῖστα χαίρειν.
πάντα ὑπερθέμενος ἐκσαυτῆς ἀπάντησων
πρὸς ὑμᾶς ἐπιδὴ ἡ μήτηρ ἡμῶν ἀπε̣γένετο
καὶ πάνο̣ι χρίαν ἔχω ̣ι`μεν´τῇ παρ̣ουσίᾳ σου. μὴ θε-
λήσῃς οὖν παραμῖναι ̣παρά σοι τοῦ σαι ἀπαντῆ-
σαι πρὸς ὑμᾶς κ̣αὶ ἀπολέσωμεν τὴν
οἰκίαν ἡμῶ̣ν. ο̣ἶ̣δ̣ας γὰρ καὶ σὼι ὅτι οὐδὲν δυνά-
μεθα ποιῆσαι [- ca.15 -] τὴν παρουσίαν
[σ]ου. τούτου γὰρ χάρι̣ν̣ κ̣α̣ὶ̣ τὸν ἀδελφὸν ἡμῶ̣ν
Μαρτύριον ἀπεστίλαμεν εἵνα σὺν αὐτῷ
ἐκσαυτῆς ἀπαντήσῃς πρὸς ὑμᾶς. χάρις
γὰρ αὐτῷ πλίστην ὅτι τῶν σκυλμῶν πεποίηκεν
πρός σαι ὑμῶν παρέχωντος αὐτοῦ τὼν μισ-
θῶν. ἀσπάζωμεν τὴν ἀδελφὴν ἡμῶν τὴν
Ἐλευθέρα σου καὶ τὰ <ἀ>βάσκα<ν>τα αὐτῆς παιδία
καὶ τοὺς ὑμῶν πάντας κατ᾽ ὄνομα. ἐρρῶσ-
- ca. ? - θαί σε εὔχομαι πολλοῖς
- ca. ? - χρόνοις, κύριε ἡμῶν ἀδελφαί.
μὴ θέλῃς ἀμαιλῆσαι καὶ ὕστερα μεταμελή<σ>ῃς.
ἐκσαυτῆς ἀπάντησων εἵνα πάντα τυπώσῃς.
Verso:
ἀπ(όδος) τῷ κυρίῳ {μου} ἡμῶν - ca. ? - ἀδελφῷ Ἀφυγχίῳ
- ca. ? - π(αρὰ) Κύρα[ς] καὶ Ἀία̣ς.